UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Synodvs Nicæna II. Generalis. Sub Hadriano papa I. anno DCCLXXXVII.

**Parisiis, 1644**

Ioannis Diacrinomeni de ecclesiastica historia.

**urn:nbn:de:hbz:466:1-15473**

Visual Library

vsque nunc audisti o acer aduocate Origenis prauitatum.

Sanctissimus patriarcha dixit: Ostensa sunt conscripta Eusebii etiam per paternam vocem aliena esse a catholica ecclesia.

Demetrius Deo amabilis diaconus & vasorum custos legit.

χει τοῦ νῦν ἀκήκοας ὦ δεινὲ συνήγορε τοῖς Ὠριγένους ἀτοπήμασιν.

Ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἀπεδείχθησαν τὰ συγγράμματα τοῦ Εὐσεβίου καὶ διὰ πατρικῆς φωνῆς ἀλλότρια εἶναι τῆς καθολικῆς ἐκκλησίας.

Δημήτριος ὁ εὐλαβέστατος διάκονος καὶ σκευοφύλαξ ἀνέγνω.

## *Theodori lectoris de ecclesiastica historia.*

## Θεοδώρου ἀναγνώστου ἐκ τῆς ἐκκλησιαστικῆς ἱστορίας.

Persa quidam Xenaias vocatus, quem tempore sacerdotii sui Calendio inueniens ecclesiastica adulterare dogmata, & castella excitare, pellit a regione. De hoc multa, quæ a diuersis audiens scrutatus sum, ex parte dicam. A Persarum enim regione proprium dominum fugiens, ad Romanorum peruenit. Et paulo post. Hunc Petrus pro Cyro Hierapoliensium ecclesiæ episcopum transmittit; quem non post multum episcopi a Perside venientes quasi vernulam arguebant, & vt diuini exortem baptismatis. Quo comperto Petrus, quid oporteret fieri non curans, dixit sufficere illi episcopi consecrationem ad supplementum * diuini sacramenti.

* diuinæ initiationis.

Stephanus diaconus & notarius venerabilis patriarchii legit.

Πέρσης τις Ξεναΐας ἐπικληθεὶς, ὃν ἐν τοῖς αὐτοῦ ἱερατικοῖς χρόνοις ὁ Καλενδίων εὑρηκὼς τὰ ἐκκλησιαστικὰ νοθεύοντα δόγματα, καὶ τὰς κώμας ἀνασταττοῦντα, ἀπελαύνει τῆς χώρας. περὶ τούτου, ἃ πολλὰ παρὰ διαφόρων ἀκηκοὼς ἠκρίβωσα, ἀπὸ μέρους λέξω. ἀπὸ γὰρ τῆς τῶν Περσῶν χώρας οἰκεῖον δεσπότην πεφευγώς. καὶ μετ' ὀλίγα. τοῦτον ὁ Πέτρος ἀντὶ Κύρου τῇ Ἱεραπολιτῶν ἐκκλησίᾳ ἐπίσκοπον ἐκπέμπει· ὃν μετ' οὐ πολὺ ἐπίσκοποι ἐκ τῆς Περσικῆς παραγινόμενοι οἰκότριβα ἀπήλεγχον, καὶ τοῦ θείου βαπτίσματος ἀμέτοχον. ὅπερ μεμαθηκὼς ὁ Πέτρος, τί δέοι γενέσθαι μὴ φροντίσας, ἔφησεν ἀρκεῖν αὐτῷ τὴν τοῦ ἐπισκόπου χειροτονίαν πρὸς ἀναπλήρωσιν τῆς θείας μυήσεως.

Στέφανος διάκονος καὶ νοτάριος τοῦ εὐαγοῦς πατριαρχείου ἀνέγνω.

## *Ioannis † Diacrinomeni de ecclesiastica historia.*

† Diacrinomeni .i. segregati. sic vocabantur qui Synodum Calchedonensem non recipiebant. ex Leontio de sectis.

## Ἰωάννου τοῦ Διακρινομένου ἐκ τῆς ἐκκλησιαστικῆς ἱστορίας.

Non enim licitum asserebat Xenaias, angelos, cum incorporei sint, corpora facere, & quasi in humanis formis existentes corporeos formare. sed nec illud existimare, honorem aut

Μὴ γὰρ δὲ εἶναι θεμιτὸν ἔλεγεν ὁ Ξεναΐας, ἀσωμάτους ὄντας ἀγγέλους σωματοποιεῖν, καὶ ὡς ἐν μορφαῖς ἀνθρωπίναις ὑπάρχοντας ἐνσωμάτους τυποῦν. ἀλλὰ μὴν μηδὲ κἀκεῖνο νομίζειν, τιμὴν

Anno Christi 787.

ἢ δόξαν ἐκνέμειν τῷ Χριστῷ τὴν διὰ γραφῆς αὐτοῦ τεχνιτευομένην εἰκόνα· εἶναι δὲ μόνην αὐτοῦ προσδεκτὴν εἰδέναι τὴν ἐν πνεύματι καὶ ἀληθείᾳ προσκύνησιν. καὶ μεθ' ἕτερα. εἰδέναι δὲ λέγει κἀκεῖνο, νηπιώδους εἶναι φρενὸς τὸ πλαστουργεῖν ἐν περιστερᾶς εἰδώλῳ τὸ πανάγιον καὶ προσκυνητὸν πνεῦμα· καίτοι τῶν εὐαγγελικῶν οὐδαμῶς παραδεδωκότων γραμμάτων, ὅτι γέγονε περιστερὰ τὸ ἅγιον πνεῦμα, ἀλλ' ὅτι ἐν εἴδει περιστερᾶς ὤφθη ποτέ· τὸ δὲ οἰκονομικῶς, ἀλλ' οὐκ οὐσιωδῶς οὕτω πως ἐφάπαξ φανὲν οὐδαμῶς ἁρμόδιον τοῖς εὐσεβοῦσι σώματος εἴδωλον ποιεῖν. ταῦτα Φιλόξενος διδάσκων, ὁμοῦ τῇ διδασκαλίᾳ καὶ τοὔργον ἐπέφερε. πολλαχόθεν γοῦν ἀγγέλων μὲν εἰκόνας καταφέρων ἐξήλειφε, τὰς δὲ τὸν Χριστὸν τυπούσας εἰς ἀδύτοις ἐταμίευε τόποις.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἀκούσωμεν ἱεροὶ ἄνδρες, τίνες οὐκ ἐδέξαντο τὰς σεπτὰς εἰκόνας, ἀβάπτιστοι, Μανιχαῖοι, οἱ φαντασίας πρεσβεύοντες ἐπὶ τῆς τοῦ Χριστοῦ οἰκονομίας. καὶ ἐκ τῶν μιασμάτων αὐτῶν οἱ τῆς χριστιανοκατηγορικῆς αἱρέσεως εἰσηγηταὶ ἔλαβον τὰς ἀφορμάς.

Σάββας ὁ εὐλαβέστατος ἡγούμενος μονῆς τῶν Στουδίου εἶπεν· εὐχαριστοῦμεν τῷ θεῷ καὶ τῇ ἀγαπητικῇ προαιρέσει τῶν δεσποτῶν ἡμῶν τῶν ἀγαθῶν, ὅτι οἱ ψευδοφύλακες τῆς ψευδοσυνόδου ἐκείνης ἐθριαμβεύθησαν μετὰ καὶ τῶν συνηγορούντων αὐτοῖς αἱρετικῶν.

Ἡ ἁγία σύνοδος εἶπεν· ἀνάθεμα αὐτοῖς.

Κωνσταντῖνος ὁ εὐλαβέστατος ἀναγνώστης τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας ἀνέγνω.

gloriam impẽdere Chriſto imaginem ei per picturæ artem * efficere: eſſe autem illi ſolam acceptabilem noſſe in ſpiritu & veritate adorationem. Et poſt alia. Noſſe autem dicit & illud, eſſe puerilis ſenſus, fingere in columbæ idolo ſanctiſſimum & adorandũ Spiritum; præſertim cum euangelicæ nequaquam tradant literæ, quia factus eſt columba Spiritus, ſed quia in ſpecie columbæ apparuit aliquando: quia vero diſpenſatorie, non ſubſtantialiter ſemel oſtenſus eſt, non ideo aptum piis eſt corporis idolum faciendi. Hoc Philoxenus docens, vna cum doctrina etiam opus patrabat. Crebro namque angelorum imagines quidem deponens delebat; eas vero quæ Chriſtum figurabant, in abditis locis occultabat.

* effectam

Ioan. 4.

Matth. 3. Marc. 1. Luc. 3. Ioan. 1.

Taraſius ſanctiſſimus patriarcha dixit: Audiamus, ſacrati viri, qui non receperunt venerabiles imagines, non baptizati, Manichæi, & hi qui phantaſiam prædicant in Chriſti diſpenſatione: ex quorum pollutionibus Chriſtianos accuſantis hæreſeos introductores fomites ſuſceperunt.

Sabbas reuerendiſſimus hegumenus monaſterii Studii dixit: Gratias agimus Deo & bonæ voluntati dominorum noſtrorum bonorum, quia falſi cuſtodes pſeudoſyllogi illius deuicti ſunt vna cum conſentientibus ſibi hæreticis.

Sancta Synodus dixit: Anathema illis.

Conſtantinus reuerendiſſimus lector ſanctiſſimæ eccleſiæ legit.